ΘΟ. μὴ παλαμναῖον λάβω;
ΙΦ. ἢν δ' ἄγαν δοκῶ χρονίζειν,
ΘΟ. τοῦδ' ὅρος τις ἐστί μοι;
ΙΦ. θαυμάσῃς μηδέν.
ΘΟ. τὰ τῆς θεοῦ πρᾶσσ' ἐπὶ σχολῆς καλῶς.
ΙΦ. εἰ γὰρ ὡς θέλω καθαρμὸς ὅδε πέσοι.
ΘΟ. συνεύχομαι.
ΙΦ. τούσδ' †ἄρ' ἐκβαίνοντας ἤδη δωμάτων ὁρῶ ξένους
καὶ θεᾶς κόσμους νεογνούς τ' ἄρνας, ὡς φόνῳ φόνον
μυσαρὸν ἐκνίψω, σέλας τε λαμπάδων τά τ' ἄλλ' ὅσα
προὐθέμην ἐγὼ ξένοισι καὶ θεᾷ καθάρσια.
ἐκποδὼν δ' αὐδῶ πολίταις τοῦδ' ἔχειν μιάσματος,
εἴ τις ἢ ναῶν πυλωρὸς χεῖρας ἁγνεύει θεοῖς,
ἢ γάμον στείχει συνάψων ἢ τόκοις βαρύνεται,
φεύγετ', ἐξίστασθε, μή τῳ προσπέσῃ μύσος· τόδε.
ὦ Διὸς Λητοῦς τ' ἄνασσα παρθέν', ἢν νίψω φό-
νον
τῶνδε καὶ θύσωμεν οὗ χρὴ, καθαρὸν οἰκήσεις δόμον,
εὐτυχεῖς δ' ἡμεῖς ἐσόμεθα. τἄλλα δ' οὐ λέγουσ' ὅμως
τοῖς τὰ πλείον' εἰδόσιν θεοῖς σοί τε σημαίνω, θεά.

ΧΟ. εὔπαις ὁ Λατοῦς γόνος, στρ.
τόν ποτε Δηλιάσιν
καρποφόροις γυάλοις
* * * χρυσοκόμαν [Φοῖβον]
ἐν κιθάρᾳ σοφὸν, ἅ τ' ἐπὶ τόξων
εὐστοχίᾳ γάνυται, φέρεν ἶνιν
ἀπὸ δειράδος εἰναλίας
λοχεῖα κλεινὰ λιποῦσ'
ἀστάκτων μάτηρ ὑδάτων,
τὰν βακχεύουσαν Διονύσῳ
Παρνάσιον κορυφὰν,
ὅθι ποικιλόνωτος οἰνωπὸς δράκων
σκιερᾷ †κατάχαλκος εὐφύλλῳ δάφνᾳ,
γᾶς πελώριον
τέρας, ἄμφεπε μαντεῖον χθόνιον.
ἔτι νιν ἔτι βρέφος, ἔτι φίλας